*τεῦθεν ἀξίως ὁ τρισαριστεὺς τῆς ὀρθῆς πίστεως πρόμαχος καὶ τροπαιοῦχος ἀκαταμάχητος. Ἐντεῦθεν, εὖ οἶδα, καὶ θαῤῥῶν προλέγω, εἴ τι μοι καὶ προφητικοῦ μέτεστι πνεύματος, ὡς καὶ τὸν κύκλῳ συνεπιτεθειμένον κοσμικὸν κατὰ κράτος νικήσει πόλεμον καὶ πᾶν ὕψωμα βαρβαρικὸν καὶ θρασύτολμον καὶ μέχρι καὶ νῦν ἐπηρμένον καταβαλεῖ καὶ καταποντώσει καὶ ἀφανίσει, καὶ σὲ τὸν τούτων συσκευαστὴν τελείως ἐκνευρίσει καὶ καταστρέψει, καὶ ἡμῖν δώσει λαμπρότερον καὶ τρανότερον ᾆσαι τὸν ἐπινίκιον. Ναί, Χριστὲ βασιλεῦ Ἐμμανουήλ, τῷ χριστῷ σου βασιλεῖ, ἤδη δὲ καὶ τὸ τρίτον πλὴν τῆς πρώτης συλλαβῆς ὁμωνύμῳ σοι Μανουήλ, καὶ τοῦτο πρὸς ἔνδειξιν τάχα τοῦ σὲ μόνον πάντων προέχειν ἐν ἑαυτῷ τὰς ἀρχάς, ταῦθ᾽ οὕτω γένοιτο, καὶ τὸ κράτος φυλάττοιτο πολυχρόνιον.*

---